# Νεομάρτυς Μάρκος ο Κλεισουριεύς -1598.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἐνδόξου Νεομάρτυρος Μάρκου τοῦ Κλεισουριέως, τοῦ ἐν Ἄργει Ὀρεστικῷ γενναίως ἀθλήσαντος.




**Ὁ** ἔνδοξος Νεομάρτυς Μᾶρκος ἦν τέκνον τοῦ προύχοντος τῆς καλλίπαιδος Κλεισούρας Πέτρου. Μὴ πιθόμενος τὴν εὐσέβειαν ἀρνήσασθαι ἐν τοῖς δυσχειμέροις τῆς δουλείας χρόνοις καὶ τὴν ἀπάτην τῶν υἱῶν τῆς Ἄγαρ ἀσπάσασθαι συνελήφθη καὶ πολλὰς ὑπομείνας κακώσεις καὶ βασάνους κατώδυνους ὡδηγήθη εἰς Ἄργος Ὀρεστικόν, ἔνθα μαρτυρικοὺς ἐδέξατο στεφάνους. Τὸ ἱερὸν αὐτοῦ σκήνωμα ῥιφὲν εἰς τὸ πῦρ κατεκάη καὶ ἡ σποδὸς αὐτοῦ ἐσκορπίσθη εἰς τὸν Ἀλιάκμονα ποταμόν, ἵνα μὰ συλλεγῇ καὶ τιμηθῇ ὑπὸ τῶν εὐσεβῶν Χριστωνύμων. Ναὸς φερώνυμος αὐτοῦ ἠγέρθη ἀμέσως ἐν τῇ πατρίδι αὐτοῦ, ὃν οἱ ἄπιστοι εἰς πῦρ καὶ αὐτὸν παρέδοσαν. Οἱ εὐσεβεῖς ὅμως Κλεισουριεῖς ἐπανεδόμησαν αὐτὸν πρὸς τιμὴν τοῦ Εὐαγγελιστοῦ Μάρκου, ἵνα ἀποφύγωσι τὴν μῆνιν τῶν καταδυναστευομένων αὐτοὺς τυράννων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.